240

Λαονίκου Χαλκοκονδύλη: Ἱστοριῶν Σ. 304

Ὁ δὲ νεώτερος τούτων (τῶν Παλαιολόγων) ἀδελφὸς Δημήτριος, ἐς διαφορὰν τῷ βασιλεῖ ἀφικόμενος, ἀφαιρουμένῳ αὐτοῦ τὰ πλείω τῆς χώρας (τῆς ἀρχῆς), ὡς οὐδὲν αὐτῷ τῶν δεόντων προσεχώρει πρὸς τοῦ ἀδελφοῦ διαπρεσβευσάμενος πρὸς βασιλέα Ἀμουράτην καὶ συμπαραλαβὼν παρ' αὐτοῦ στράτευμα, ἐπελάσας τε καὶ ἐπολιόρκει Βυζάντιον.

Μετ' οὐ πολὺ δὲ τοῦ Ἀσάνεω θυγατρὸς ἀνδρὸς μέγα δυναμένου ἐπὶ τῇ πόλει, καὶ δοκοῦντος συμπράξειν αὐτῷ, καὶ πρὸς τὴν βασιλείαν, ὡς οὐδὲν ἀνύτει αὐτῷ, ἀπεχώρει.

Μετ' οὐ πολὺ δὲ διαπρεσβευσάμενος πρὸς τὸν ἀδελφὸν αὐτοῦ βασιλέα ἧκέ τε ἐς Βυζάντιον, καὶ οὐ πολλῷ ὕστερον ἑάλω αὐτός τε καὶ ὁ τῆς γυναικὸς ἀδελφὸς ὑπὸ βασιλέως Ἑλλήνων Ἰωάννου. Καὶ ἐν φυλακῇ χρόνον ἀπ' ἀμελείας ὄντε τούτων ὑποτιθεμένου (suadente) τοῦ Ἀσάνεω, ἀπέδρα τε νύκτωρ ἐς τὴν καταντικρὺ πόλιν τὴν Γαλατίαν.

Καὶ διαπρεσβευσάμενος, ἔτυχέ τε εἰρήνης, καὶ ἐς τὴν ἀρχὴν αὖθις ἐπὶ τοῦ Εὐξείνου πόντου

2/

241

ἀφίκετο τὸ γυναικάδελφη αὐτοῦ ἀπηλάθη ὑπὸ βασιλέως.

Ἦν γὰρ δὴ αὐτῷ (τῷ βασιλεῖ Ἰωάννῃ) διαφορὰ πρὸς τὸν ἀδελφὸν αὐτοῦ Θεόδωρον τὸν νεωστὶ ἀφιγμένον ἐπὶ Βυζάντιον, διαδεξόμενον τὴν ἀρχὴν παρὰ τοῦ ἀδελφοῦ. σ. 336

Καὶ ἔπραττεν οὗτος τὰ πρὸς βασιλέα ἐναντιούμενος τῷ ἀδελφῷ.

Καὶ ὕστερόν τε ἐξηνέχθη αὐτοῖς ἐς ἐμφανῆ διαφοράν, ἐστρατεύετο ἐπὶ Βυζάντιον βασιλέα Θεόδωρος ὁ ἀδελφός, τήν τε Σηλυβρίαν ἐπιτετραμμένος καὶ τὴν περίοικον ταύτης.

Αἰτούμενος γὰρ ἱκανὴν πρόσοδον αὐτῷ ἐγγὺς ἀπονεῖμαι, οὐκ ἐτύγχανεν.

Ὅθεν ἐς πόλεμόν τε καθίστατο τῷ ἀδελφῷ καὶ ἐστρατεύετο.

Ὕστερον μέντοι πρὶν ὁτιοῦν διαπράξασθαι αὐτῷ (Prius tamen quam quidquam bellando profecisset), ἐτελεύτησε νόσῳ λοιμώδει τὸν βίον ἀπολιπών.